Oben abgebrochen. [1] παρὰ [Γα]ίου Ἰ[ου]λ[ίου Ἀπολ]ινα[ρίο]υ οὐ[ε]-[2]τρανοῦ γε[ο]υχ[ο]ῦ[ντος ἐν] κώμῃ Κα[ρα][3]νίδι. [Δ]ιατέτακ[ται, κ]ύριε, τοὺ⟨ς⟩ οὐετρα[4]νοὺς ἔχειν μετὰ τ[ὴν ἀπό]λυσιν πέντ[α][5]ετῆ χρό[ν]ον ἀναπ[αύσε]ως. Παρὰ δὴ ταύ[6]την τὴν [δι]άτ[α]ξιν ἐ[γὼ] ἐπηρεάσθην [7] μ[ε]τὰ διετίαν τῆς [ἀπο]λύσεως κα[ὶ] [8] ἀ[ν]εδόθην κατ' ἐπή[ρια]ν εἰς λειτουργίαν [9] καὶ μέχρι τοῦ δεῦρο [κ]ατὰ τὸ ἑξῆς [10] ἐν λειτουργίᾳ εἰμ[ὶ] ἀδιαλεί[πτ]ως. [11] Τοῦ τοιούτου παντ[ὶ] ἀπηγορευ[12]μένου [ἐ]πὶ τῶν ἐν-[χ]ωρίων πολλῷ [13] πλεῖον ἐπ' ἐμοῦ συντηρεῖσθαι [14] ὀφείλι τοῦ ὑπηρετήσαντος τὸν [15] τοσοῦ[το]ν τῆς στρατείας χρόνον. [16] Διόπερ προσφεύγειν σοι ἠναγκήσ[17]θην δικαίαν δέ[ησ]ιν ποιούμενος [18] καὶ ἀξιῶ συντηρῆσαί μοι τὸν τῆς [19] ἀναπαύσεως ἴσον χρόνον κατὰ ⟨τὰ⟩ [20] περὶ τούτου διατεταγμένα, ἵνα δυνηθῶ [21] κἀαγὼ τ[ὴ]ν ἐπιμέλειαν τῶν ἰδίων [22] ποιεῖσθαι, ἄ[ν]θρ[ω]πος πρεσβύ[τη]ς καὶ [23] μόνος τυγχ[άν]ων, [κ]αὶ τῇ τύχῃ σου [24] εἰς ἀεὶ εὐχαριστῶ. Διευτύχει. [25] (2. H.) Γάιος Ἰούλιος Ἀπολινάριος ἐπιδέδωκ[26]κα.
[27] (3. H.) (Ἔτους) ιβ// Μεχεὶρ κθ.
[28] (4. H.) Τῷ σ[τρατη]γ[ῷ] ἔντυχ[ε] καὶ τὰ [29] πρ[οσήκο]ντα ποιήσει.
[30] (5. H.) / Ἀ[πόδος.]

2 Als γεουχῶν im Dorfe ist auch der römische Bürger und Veteran daselbst liturgiepflichtig.
8 ἐπή[ρια]ν W. ἐτή[σιο]ν Ed. Damit fallen auch die irrigen Konsequenzen bei Hohlwein, Musée Belge XII 93.
9 τοῦ δεῦρο [κ]ατὰ τὸ W. τοῦ δευρε[ὶ κα]τ' ἔτος Ed. τοῦδε τρί[το]ν ἔτος Wess. Karanis S. 103 (danach Hohlwein l. c.).
16 ἠναγκήσθην (l. ἠναγκάσθην) W. ἠναγκάσθην Ed.
21 l. κἀγώ (Ed.).
22 πρεσβύ[τη]ς καὶ W. πρεσβύτερος Ed.
23 [κ]αὶ W. [ε]ἰ Ed.
24 εὐχαριστῶ W. σὺ[ν] ἀρίστῳ Ed.
30 (5. H.) / Ἀ[πόδος.] W. Dies die eigenhändige Unterschrift des Adressaten. Vgl. S. 44.

397. Zu den Privilegien der Antinoïten. — 254 n. Chr. — Oxyrhynchos. Vgl. S. 345 ff.

P. Oxy. VIII 1119 ed. Hunt.

Über die große Bedeutung dieses Textes für die Privilegien der Antinoïten ist schon oben S. 345 gesprochen worden. Hier soll nur zum leichteren Verständnis des verwickelten Aktenmaterials der Einzelfall dargelegt werden. Zwei Zwillingsbrüder Theon und Arsinoos, die in Oxyrhynchos, wie es scheint, wohnten, waren im Jahre 244 von ihrem oxyrhynchitischen *ἀμφοδογραμματεύς* Sarapion für die Liturgie der *πρακτορία ἀργυρικῶν μητροπόλεως* vorgeschlagen worden, wiewohl sie antinoïtische Vollbürger waren. Sie wandten sich daher — ebenso wie die Petenten von BGU IV 1022 (**29**) — mit einer Eingabe an den Rat von Antinoopolis (Z. 19), und dieser schrieb darauf an den Epistrategen (der Heptanomia) einen Brief, in welchem er, unter Hinweis auf die von Hadrian gegebenen und von den Nachfolgern bestätigten Privilegien von Antinoopolis diesen Beamten aufforderte, daß er dem Strategen des Oxyrhynchites befehle, in Sachen der Beschwerdeführer Remedur eintreten zu lassen. Entweder solle der *ἀμφοδογραμματεύς* neue Vorschläge machen oder sich vor dem Gericht des Epistrategen verantworten. Dieser

Ratsbrief, vom 26. November 244, liegt in Z. 14—22 vor. Hierauf gab der Epistratege am 28. Januar 245 die gewünschte Weisung an den Strategen (Z. 22—24). Dieser verlangte nun von dem beschuldigten *ἀμφοδογραμματεύς* eine amtliche Erklärung (*προσφώνησις*), die am 8. April 245 an den Strategen abging. Hierin erklärte er, daß, nachdem er amtlich festgestellt habe, daß die beiden wirklich antinoïtisches Bürgerrecht hätten, er selbst jene Liturgie auf sich genommen habe (Z. 25—28). Auf diese schon 9 bis 10 Jahre zurückliegenden Dinge verwiesen nun die beiden Brüder im J. 254 den nunmehrigen Strategen des Oxyrhynchites, indem sie in einer Eingabe, unter Beifügung von Abschriften des Ratsbriefes, des Epistrategenbriefes und der *προσφώνησις*, ihn aufforderten, dem derzeitigen *φύλαρχος* hiervon Kenntnis zu geben, damit nicht wieder aus Unkenntnis ein ähnlicher Fehlgriff wie damals gemacht werde. Diese Eingabe an den Strategen (*βιβλίδιον* Z. 3) reicht einschließlich der Beilagen von Z. 6—29. Der Stratege schickte darauf dies Original des *βιβλίδιον* an den Phylarchen (am 16. August 254), nachdem er am oberen Rande in einer kurzen Notiz ihm die Sendung erklärt hatte (Z. 1—5). Endlich hat dann am Schluß ein *ὑπηρέτης* die Übergabe der Akten notiert (Z. 30). In den Akten des Phylarchen hat das Stück dann die Paginanummer „28" erhalten (Z. 1).

[1] (7. H.) *κη*

[2] (4. H.) [*Στρατηγὸς Ὀξυρυγχείτου*] *Αὐρηλίῳ Ἡρᾷ φυλάρχ(ῳ) τοῦ εἰσιόντος δ (ἔτους).* [3] [*Ἐπιστέλλεταί σοι τὸ βιβλείδιον Αὐρηλίων Θέωνος καὶ Ἀρσινόο*]*υ ἀμφοτέρων Θέωνος Σεβαστείων τῶν καὶ Διοσκουρείων Ἀντινοέων, ἐντεταγμένων καὶ ἀντιγράφων ἐπιστολῶν δύο, τὴν μὲν γρα(φεῖσαν)* [4] [*ὑπὸ τῆς κρατίστης Ἀντινοέων βουλῆς Ἀντωνίῳ Ἀλεξάνδρῳ τῷ κρα(τίστῳ) ἐπιστρα(τήγῳ),*] *τὴν δὲ ὑπὸ τοῦ αὐτοῦ ἐπιστρα(τήγου) τῷ τότε γι(νομένῳ) στρα(τηγῷ), ἀλλὰ καὶ τῆς γενομένης προσφωνήσεως ὑπὸ τοῦ τότε ἀμφοδογραμματέως.* [5] [(*Ἔτους*) *γ Αὐτοκρατόρων Καισάρων Γαΐου Οὐιβίου Τρεβωνιανοῦ Γάλλου καὶ Γαΐου Οὐιβίο*]*υ Ἀφινίου Γάλλου Οὐελδουμιανοῦ Οὐολουσιανοῦ Εὐσεβῶν Εὐτυχῶν Σεβαστῶν* (5. H.) *Μεσορὴ κγ.*

[6] (1. H.) [. . . . *στρατηγῷ Ὀξυρυγχείτου παρὰ Αὐρηλίων Θέωνος καὶ Ἀρσινόου Θέωνος Σεβαστείων τῶ*]*ν καὶ Διοσκουρείων Ἀντινοέων. Ἐπεὶ τῇ πρὸ ταύτης περιόδῳ τῶν μελλόντων λειτουργεῖν τοῖς ἐνταῦθα ἀμφόδοις ὁ τότε γενόμενος ἀμφοδογραμματεὺς* [7] [*Αὐρήλιος Σαραπίων* 40 Buchst. *εἰσήγ*]*γειλεν ἡμᾶς διὰ τῆς καταχωρισθείσης ὑπ' αὐτοῦ γραφῆς λειτουργιῶν εἰς πρακτορίαν ἀργυρικῶν τῆς μητροπόλεως, αὐτοί τε εὐθέως περιηχηθέντες ἐκεῖσε* [8] [51 Buchst. *οὐχ ἡσυχάσα*]*μεν, ἀλλὰ προσήλθομεν τῇ κρατίστῃ βουλῇ ὑφηγησάμενοι τὴν τόλμαν καὶ τὴν παρανομίαν τοῦ αὐτοῦ ἀμφοδογραμματέως, ἥτις ἀγανακτήσασα ἐπέστειλεν τῷ* [9] [*κρατίστῳ ἐπιστρατήγῳ Ἀντωνίῳ Ἀλεξάνδρῳ, ὃς τὸν νοῦν προσέχων δικαίοις τοῖ*]*ς μάλιστα δεδομένοις τῇ ἡμετέρᾳ πατρίδι ἐπέστειλεν τῷ τότε στρατηγῷ Αὐρηλίῳ Δείῳ τῷ καὶ Περτίνακι κελεύσας αὐτὸν ἐπαναγκασθῆναι ἢ προχειρίσασθαι* [10] [*ἑτέρους ἀνθ' ἡμῶν εἰς τὴν λειτουργίαν ἢ* 29 Buchst.] *τὰ τῆς παρα-*

νομίας, ὅ τε στρατηγὸς πάντα ἐπέστειλεν τῷ ἀμφοδογραμματεῖ, ἐκεῖνός τε εὐλαβῶς ἔχων τὸν ἐπηρτημένον αὐτῷ ἐκ τοῦ παρανομήματος κίνδυνον [11][36 Buchst. *αὐτὸς ὑπέσχετο ἀντὶ τῆς ἁμα*]*ρτίας, ἀγνοίας π̣ρ̣*[*ό*]*φ̣α̣σιν ὑποτειμησάμενος, ὑποστήσεσθαι τ̣ὸ̣* [*με*]*τὰ τοῦτ̣ο τὰς λειτουργίας. Ὅθεν καὶ νῦν ὑπὲρ τοῦ μὴ καὶ τὸν νυνεὶ φύλαρχον δοκεῖν ἀγνοεῖν αὐτὰ ταῦτα* [12][39 Buchst. *διὰ τὸ τὸν ἕτερον ἡμῶν Αὐ*]*ρήλιον Θέωνα ἐκεῖ ἐν τῇ πατρίδι εἶναι προσευκαιροῦντα ταῖς λειτουργίαις εἰς ἅ*[*ς*] *προεχειρίσθημεν τοῦ στοίχου καταλαβόντος τὴν ἡμετέραν βουλὴν τῷ ἐνεστῶ*[13][*τι ἔτει . . . . . ἐπιδίδομέν σοι τὰ ὑποκείμενα ἀντίγραφα ἀξιοῦντες αὐ*]*τὰ ταῦτα φανερὰ γενέσθαι δι' ἑνὸς τῶν περὶ σὲ ὑπηρετῶν τῷ τῶν μελλόντων λειτουργεῖν ἀμφόδων φυλάρχῳ Αὐρηλίῳ Ἡρᾷ, ἵν' εἰδῇ.* (*Ἔτους*) *γ Αὐτοκρατόρων Καισάρων* [14][*Γαΐου Οὐιβίου Τρεβωνιανοῦ Γάλλου καὶ Γαΐου Οὐιβίου Ἀφινίου Γάλλο*]*υ̣ Οὐελδουμιανοῦ Οὐολουσιανοῦ Εὐσεβῶν Εὐτυχῶν Σεβαστῶν* (2. H.) *Μεσορή.*

(1. H.) *Ἔστι δὲ τὰ ἀντίγραφα· Ἀντινοέων νέων Ἑλλήνων τῆς λαμπρᾶς πόλεως οἱ ἄρχοντες καὶ ἡ βουλὴ* [15][*Ἀντωνίῳ Ἀλεξάνδρῳ τῷ κρατίστῳ ἐπιστρατήγῳ χα*]*ί̣ρ̣ε̣ι̣*[*ν. Ο*]*ἶ̣σ̣θ̣α̣, κράτιστε τῶν ἐπιτρόπων, τῷ χρόνῳ τῆς ἐπιτροπῆς εἰ καί τις ἕτερος πλήρης γεγονὸς τῶν ἐξαιρέτων τῆς ἡμετέρας πατρίδος δικαιωμάτων, ὅτι πρῶτον μὲν θεὸς Ἁδριανὸς* [16][40 Buchst.] . *ει̣ς̣ αὐτὴν ἀπὸ τῶν ἐν Αἰγύπτῳ πόλεων ἐνομοθέτησεν σαφῶς παρὰ νόμοις μὲν ἡμεῖν ἄρχειν καὶ λειτουργεῖν, πασῶν δὲ ἀπηλλάχθη τῶν παρ' ἄλλοις ἀρχῶν τε καὶ λειτουργιῶν, ἔπειτα δὲ* [17][31 Buchst. *διαδεξάμ*]*ενοι τὴν βασιλείαν τὴν ὑπάρχου*[*σ*]*αν ἡμεῖν καὶ ἐν τούτου ἄδιαν ἐ*[*βεβ*]*α̣ίωσαν πολλάκις, οἷς ἑπόμενοι εὐσεβῶς καὶ οἱ κατὰ καιρ*[*ὸ*]*ν ἡγησάμενοι τοῦ ἔθνους καὶ ὑμεῖς οἱ κράτιστοι οὐ μόνον ἀφίεται* [18][*ἡμᾶς πασῶν τῶν παρ' ἄλλοις ἀρχῶν τε καὶ λειτουργιῶ*]*ν̣ ἀλλὰ καὶ δίκην ἀπ̣*[*α*]*ι*[*τ*]*ε̣ῖ̣ται τῆς παρανομίας παρὰ τῶν πλημ̣*[*μελ*]*εῖν ἐπιχειρούντων εἴς τε τὰς θείας νομοθεσίας κα*[*ὶ*] *τὰς τῶν ἡγεμόνων κρίσις. Ἐπεὶ οὖν Αὐρήλιοι Θέων καὶ Ἀρσίνοος παρ' ἡ*[19][*μῖν* (?) 36 Buchst. *συμ*]*πολεῖται ἡμέτεροι προσῆλθον ἡμεῖν διὰ βιβλειδίων αἰτιώμενοι Σαραπίωνα ἀμφοδογραμματέα τῆς Ὀξυρυγχειτῶν πόλεως ὡς ἀμφοτέρους αὐτοὺς εἰς πρακτορίαν μητροπολειτικῶν* [20][*ἀργυρικῶν ἀναδεδωκότα* 23 Buchst. *ἐπ*]*ι̣*[*δίδο*]*μέν σοι τῇ ἐπιμελείᾳ, ὅπως κελεύσῃς* [*τ*]*ῷ στρατηγῷ τοῦ αὐτοῦ νομοῦ δυοῖν θάτερον γενέσθαι, τὸν ἀμφοδογραμματέα γνωσιμαχήσαντα ἑτέρους ἀντ' αὐτῶν ἀναδοῦναι* [21][*εἰς τὴν λειτουργίαν ἢ* 16 Buchst. *ἀπαντῆσαι*] *πρὸς τὴν ε*[*ὐ*]*τυχῶς ἐσομένην σου ἐπιδημίαν, εἵνα κατὰ το*[*ὺ*]*ς πατρίους τῆς ἡμετέρας πολειτίας νόμους λόγον ὑπόσχῃ̣ τ*[*ῆ*]*ς τε τῶν θείων νόμων καὶ τῶν ἡγεμο*[*ν*]*ικῶν κρίσεων* [22][*ὕβρεως* 18 Buchst. *Ἐρρῶσθαί σε εὐχόμεθα.*] (*Ἔτους*) *β Μάρκων Ἰουλίων Ἁθὺρ λ̣.*

14 *Μεσορή* soll nach Hunt von derselben Hand geschrieben sein, wie das Datum in 5. Das ist mir nicht ganz verständlich.

16]*θεις* oder]*ν εἰς* (Ed.). — l. *μόνοις* statt *νόμοις* (Ed.).

17 = *τούτῳ*.

20 l. *σου* für *σοι* (Ed.).

Ἀντίγραφον ἐπισ[το]λῆς· Ἀντώνιος Ἀλέξανδρος στρατηγῷ Ὀξυρυγχείτου χαίρειν. Τίνα μοι ἐπέστειλαν Ἀντινοέων νέων Ἑλλήνων λαμ- 23 *[πρᾶς πόλεως οἱ ἄρχοντες καὶ ἡ βουλή, ὅπως εἰδῇς, το]ύτ[οις] μου τοῖς γράμμασι ὑπ[ο]ταγῆν[α]ι ἐκέλευσά σοι. Φρόντι[σο]ν τὸν ἀμφοδογραμματέα ὧν αἰτιῶνται τῇ ἑαυτῶν πολειτίᾳ προσήκοντας ἀναδεδωκέν[α]ι εἰς πρακτορίαν παρεῖναι* 24 [17 Buchst. *λόγον ὑποσχήσοντα ὧν ἔπραξεν παρὰ τὰ νενομ]οθετημένα, εἰ ἔτι α[ὐ]τοὺς ὡς προσήκοντας αὐτ[ῷ] ὑπαγαγεῖν ἐπιχειροίη τῇ λειτουργίᾳ. Ἔρρῶσθαί σε εὔχομαι.* (*Ἔτους*) *β Μάρκων Ἰουλίων Μεχεὶρ γ.*

Τῆς δὲ προσφωνήσεως· 25 *[Αὐρηλίῳ Δείῳ τῷ καὶ Περτίνακι στρατηγῷ Ὀξυρυγχείτου παρ]ὰ Αὐρηλίου Σαραπίωνος ἀμφοδογραμματέως τῆς Ὀξυρυγχ[ε]ιτῶν πόλεως. Ἐπεστάλην ὑπὸ [σο]ῦ τῇ α τοῦ Φαμενὼθ μηνὸς ἐπίσταλμα, ᾧ ἐντέτακται ἀντίγραφον* 26 *[ἐπιστολῆς τῆς γραφείσης σοι ὑπὸ Ἀντωνίου Ἀλεξάνδρου τοῦ κρατίσ]τ[ο]υ ἐπιστρατήγου, ὑποτεταγμένων αὐτῇ καὶ [τ]ῶν ἀνεν[ε]χθ[έντων αὐ]τῷ ὑπὸ τῆς κρατίσ[τ]ης τῶν Ἀντινοέων βουλῆς ἕνεκεν Αὐρηλίων Θέωνος καὶ Ἀρσινόου διδυμα*27 *[γενῶν* 17 Buchst. *ἀναδοθέντων ὑπ' ἐμοῦ εἰς πρακτορίαν ἀργυ]ρικῶν μητροπόλεως, ὧν τὸν ἕτε̣ρ̣[ο]ν̣ Ἀρσίνοον ὡς Πατερμ . [. . . ., ὅπω]ς τὴν κάθοδον ποιήσομαι πρὸς τὸν κράτιστον ἐπιστράτ[ηγον], ἐὰν ἔτι αὐτοὺς ὡς προσήκοντας* 28 *[ἡμῖν ὑπαγαγεῖν ἐπιχειρῶ τῇ λειτουργίᾳ. Ἐπισκεψάμενος οὖν εὗρον αὐ]τοὺς ἔχειν δίκαια Ἀντινοειτικὰ ἐκ πατρό[ς], ᾧς καὶ ἔκτοτε μαθ[ὼν ὑπέστ]ην τὴν ὑπὲρ αὐτῶν λειτουργίαν· ἅπερ προσφωνῶ.* (*Ἔτους*) *β Μάρκων Ἰουλίων Φαρμοῦθι ιγ.* 29 (3. H.) *[Αὐρήλιοι Θέων καὶ Ἀρσίνοος Θέωνος ἐπ]ιδεδώκαμεν.*

30 (6. H.) [. . . . .] *ἐπήνεγκα.* (*Ἔτους*) *γ Μεσορὴ κθ.* [. . . . .] . λ̣( ) *κολ(λήματα) κε κζ.*

398. Verkündung eines Strategieverwalters betreffs Liturgen. — 169 n. Chr. — Faijûm. Vgl. S. 346.

BGU I 18 ed. Wilcken. Nachtr. von Crönert, Hunt, Wilcken in den Add. zu BGU I—III. Wilcken, Arch. IV 424.
Lit: Wilcken, Gr. Ostraka I 505 ff. Rostowzew, Kolonat S. 150.

Der Verwalter der Strategie verkündet in einem *πρόγραμμα*, daß die unten genannten Personen, die ihm von den *γραμματεῖς τῆς πόλεως* für die in Frage stehende Liturgie vorgeschlagen seien, ihr Amt übernehmen und einwandfrei führen sollen. Da die Vorschläge von jenen *γραμματεῖς* gemacht sind, werden die Vorgeschlagenen Arsinoïten sein. Drei von ihnen haben römische Namen. Nur bei einem ist das Quartier (*Ἑλληνίου*, als *ἄμφοδον*-Name von Arsinoë bekannt) namhaft gemacht. Die meisten sind Grundbesitzer in Dörfern des Faijûm. Über den Inhalt der Liturgie, die Taxierung der unverkauften Staatsländereien, vgl. Rostowzew l. c. Es handelt sich also um eine staatliche Liturgie. Nach dem Wortlaut des *πρόγραμμα* hat der Strategieverwalter die Vorschläge nicht erst an eine höhere Instanz eingeschickt, sondern ernennt sie direkt.

Eine Auswahl findet nicht statt, da ebensoviele Personen vorgeschlagen werden, als Stellen vakant sind. Vgl. hierzu S. 347. In der Schlußzeile notiert der *ὑπηρέτης* des Strategen die Einregistrierung des Aktenstückes (vgl. Arch. IV 424). Das Ganze liegt in Kopie vor.

1 *Ἀντίγραφον προγράμματος. Σερ[ῆ]νος βασιλ(ικὸς)* 2 *γραμματεὺς Ἀρσι(νοΐτου) Ἡρακλείδου μερίδος* 3 *διαδεχόμενος τὰ κατὰ τὴν στρατηγίαν.* 4 *Εἰς τὸ συντιμήσασθαι τὰ ἐν ἀπράτοις ὑπάρχοντα* 5 *ἀντὶ Γαΐου Ἰουλίου Πτολλίδος καὶ Ἀμ[α]ράντου* 6 *Ἑστιαίου καὶ Ἥρωνος ἐπικαλουμέν[ο]υ* 7 *Εὐδαίμονος καὶ Διοδώρου Θεογείτον[ο]ς* 8 *τῶν δ̅ πεπληρωκότων τὸν ὡρισ[μ]ένον* 9 *χ[ρ]όνον καὶ Ἀνουβίωνος Ἥρωνος καὶ Δημητρίου* 10 *Σουχάμμωνος τῶν δύο δηλωθέν[τ]ων τε[τ]ε*11*λευτηκέναι ἀνεδόθησαν οἱ ὑπογεγραμμέ*12*νο[ι] ὑπὸ τῶν τῆς πόλεως γραμματέ[ω]ν ὡς* 13 *εὔ[π]οροι καὶ ἐπιτήδιοι [εἴ]ς δημόσ[ια]. Παραγ[γ]έλ⟨λ⟩εται* 14 *ἀντιλαμβάνεσθαι τῆς ἐνχιρισθίσης α[ὐ]τοῖς* 15 *χρε[ία]ς ὑγιῶς καὶ πιστῶς εἰς τὸ ἐν μηδενὶ* 16 *με[μ]φθῆναι. Σεσημίωμαι. (Ἔτους) θ̅ Αὐρηλι[ο]υ* 17 *Ἀντω⟨νι⟩νίνου Καίσα[ρ]ος τοῦ κυρί[ο]υ Ἀρμ[εν]ιακοῦ* 18 *Μηδικοῦ Πα[ρθ]ικοῦ Μεγίστου [Μ]ε[σορ]ὴ ι̅ζ̅.*

19 *Ἔστι δέ· Γάϊος Ἰούλιος Ἀπολινάριος γεουχῶν*
ἐν Καρανίδι ἔχων πόρον (δραχμῶν) ͵Δ.
Μύσθης Κορνηλίου γεουχῶν ἐν Πτολεμαΐδι
Νέᾳ ἔχων πόρον (ταλάντου) α.
Ἀντώ[ν]ιος Ἡρακλιανὸς γεουχῶν ἐν τῷ
Νέστου ὁμοίως (δραχμ.) ͵Δ.
Γάϊος Ἰούλιος Σατορνεῖλος γεουχ[ῶν] ἐν Τάνι
ἔχων πόρον (δραχμ.) ͵Δ.
Πτολεμαῖος καὶ ὡς χρηματίζει νομογρ(άφος) Φα[ρ]βαίθων
ἔχων πόρον (δραχμ.) ͵Δ.
Πασίων Πετερμούθεως τοῦ Πετερμούθεως
ἀ[π]ὸ Ἑλληνίου ἔχων πόρον (δραχμ.) ͵Δ.
Ἥρων [ὑ]πηρέτης ἀποτα[. .]ς κατεχώ(ρισα) Μ[εσο]ρὴ κ̅.

8 Die 4 Genannten haben die Liturgie bis zu dem Endtermin zu Ende geführt und werden daher nun abgelöst.

14 = *ἐνχειρισθείσης*.

31 *ἀποτα[γεὶ]ς??* oder *ἀπὸ τα[γῆ]ς?* In den 3 Tagen, die zwischen der Abfassung des *πρόγραμμα* und der Einregistrierung liegen, wird die Urkunde ausgehangen haben. Vgl. Arch. IV 424.

399. Vorschlag von Liturgen durch den Dorfschreiber. — Um 137 n. Chr. — Faijûm. Vgl. S. 347.

BGU I 235 ed. Viereck. Nachtr. von Krebs und Wilcken in Add. zu BGU I und III.

Lit.: Wilcken, Gr. Ostraka I 508 ff.

Dieser Papyrus hat uns zuerst gelehrt, daß damals der Vorschlag des *κωμογραμματεύς* auf einen Beschluß der Dorfgemeinde (*τῶν ἀπὸ τῆς κώμης*) zurückging, die ihrerseits die Bürgschaft für die Vorgeschlagenen übernahm.

Vgl. Ostraka l. c. Inzwischen sind weitere Texte bestätigend hinzugekommen, wie Flor. 2 (**401**). Zu der in Z. 15 erwähnten Auslosung durch den Epistrategen vgl. S. 347.

[1] *Ο̲ὐεγέτωι στρ(ατηγῷ) ['Αρ]σι(νοΐτου) Ἡρ[ακλ(είδου) μερίδος]* [2] *παρ[ὰ] Π[ε]θέως [κω]μογ[ρ(αμματέως) . . . . . καὶ ἄλλων]* [3] *κωμῶν.* [4] *'Αν[τὶ] Ἀφροδᾶ ἐπικ[αλουμένου . . . .]* [5] *ἔν[γι]στα πληροῦντος εἰς Φαμενὼθ κθ* [6] *καὶ Π[α]σ[ί]ων[ος] Ἀφροδισίου ἐπικ(αλουμένου) Κέννις* [7] *καὶ Σ[α]βίνου Ἁρπάλου τ[ῶ]ν β¯* [8] *ἔνγισταν πληρούντων εἰς Παῦν[ι . .]* [9] *καὶ 'Ισχυρίωνος Πετεσ[ούχου καὶ . . . .]* [10] *κουρ[έ]ως τετελ(ευτηκότων) τῶ̲ν [β̄ . .]α· ἀπ[ὸ]* [11] *κώμ(ης) Πτολεμαΐδος Νέ[ας ἀναδίδω]μι τοὺ[ς]* [12] *ὑπογεγρ(αμμένους) ὄντας εὐπόρους καὶ ἐπιδηδίο[υς]* [13] *γνώμῃ καὶ κινδύ[ν]ων τῶν ἀπὸ τῆς* [14] *κώμης τῶν καὶ ἐνγυομέ[νο]υς κατὰ τὸ ἔ[θος]* [15] *πεμπθησομένους τῷ κρα[τ(ίστῳ)] ἐπιστρ(ατήγῳ) εἰς κλ(ῆρον)].* [16] *Εἰσὶ δέ·* [17] *Σαραπάμμων Τεβούλου ἔχ̲[ων πόρον* Schluß fehlt] [18] *Προπελᾶς Προπελάου* [Schluß fehlt] [19] *Εἰσχυρᾶς Πεθ[έ]ως . .* [Schluß fehlt] [20] [. . . . .]*ωνο[ς* Schluß fehlt] [21] *Πα*[Schluß fehlt] Hier bricht der Papyrus ab.

1 Vegetus als Stratege dieses Bezirkes in BGU I 352, 2 (a. 137) genannt (Krebs).
2 *καὶ ἄλλων*] erg. W (vgl. z. B. BGU II 618).
5 In den ersten 3 Fällen steht die Beendigung der Amtszeit nahe bevor.
8 l. *ἔγγιστα.*
10 *κουρ[έ]ως* (Barbier) W. *κούρ[ε]ως* Ed. Bei meinem Vorschlag, der in 9 einen kurzen Namen wie *'Ισᾶ* voraussetzt, ist der Beruf statt des Vaternamens zur Kennzeichnung der Person genannt (wie in 3 der Beiname). Bei dem anderen Vorschlag würde dem bloßen Individualnamen kein Distinktivum beigegeben sein. — Das *ν* von *τῶ̲ν* noch sichtbar. W.
13 l. *κινδύνῳ* (Ed.).
14 l. *ἐγγυωμένων.*
15 = *πεμφθησομένους.*
17 *ἔχ[ων πόρον* W. Entsprechend in den nächsten Zeilen.

400. Ersatzvorschläge von Liturgen für Flüchtlinge. — 186 n. Chr. — Faijûm. Vgl. S. 347.

P. Gen. 37 ed. Nicole. Nachtr. von Wilcken, Arch. I 554, III 395. Die Klammern setze ich nach meiner Revision des Originals.

Vier Personen, deren Namen bereits zur Auslosung eingereicht waren (*ἐν κλήρῳ*), waren unsichtbar geworden (*μὴ φαινομένων*). Sie waren also schon früher flüchtig geworden als die oben S. 353 aus Leipziger Texten Erwähnten, die nach der Auslosung (*μετὰ τὸν κλῆρον*) nicht zu finden waren. Hier tritt uns die Angst der Bevölkerung vor den Liturgien deutlich entgegen. Diese Zustände waren es andrerseits, die die Regierung allmählich dazu brachten, besondere Bürgschaften für eine *ἐμφάνεια* zu verlangen. Vgl. S. 354. Der folgende Text enthält nun die Ersatzvorschläge für die Verschwundenen.

[1] *Ἀπολλωτᾷ στρα(τηγῷ) Ἀρσι(νοΐτου) Ἡρακ(λείδου)* [2] *μερίδος* [3] *παρὰ Σωτηρίχου Σώτου καὶ τῶν* [4] *λοιπ(ῶν) πρεσβ(υτέρων) διαδεχο(μένων) καὶ*

4 Die Presbyter machen die Vorschläge in Vertretung des *κωμογραμματεύς*, des zunächst dazu berufenen Beamten. Vgl. z. B. BGU I 15 (**393**).

τὰ κατὰ τὴν [5] κωμογρα(μματείαν) κώ(μης) Σοκνοπ(αίου) Νήσου. [6] Ἀντὶ Τρύφωνος Σεμπρωνίου [7] [κ]αὶ Παουῆτις Πεκᾶτος καὶ Πνεφερῶτο(ς) [8] Σώτου καὶ Ἁρπαήσεως Ἁρπαγάθου [9] [τ]ῶν δ̄ ἐ[ν] κλ[ή]ρῳ πρακ(τορίας) ἀργυρι(κῶν) [10] [τ]ῆς προκει(μένης) κώ(μης) μὴ φαινομένων [11] δίδομεν τοὺς ὑπογεγρα(μμένους) ὄντας εὐπό[12]ρους καὶ ἐπιτηδείους, πεμφθησομένους [13] εἰς κλῆρον τῷ κρατίστῳ ἐπιστρα(τήγῳ).

Εἰσὶ δέ·

Σάτυρος Ἀσκληπιάδου ἔχω(ν) πό(ρον) (δραχμῶν) ω
Σώτας Σώτου ἐπικαλ(ούμενος) Ἀσίαρξ δ(μοίως) (δραχμ.) ω
Παβοῦς Παβοῦτος ὁμοίως (δραχμ.) ψ
Στοτοῆτις Σώτου λαξὸς δ(μοίος) (δραχμ.) ψ
(2. H.) Σωτήριχος (ἐτῶν) ν οὐλ(ὴ) μετώπ(ῳ)
ἐξ ἀριστ(ερῶν)
(1. H.) (Ἔτους) κς' Μάρκου Αὐρηλίου Κομμόδου
Ἀντωνίνου Καίσαρος τοῦ κυρ(ίου) Ἐπεὶφ κ̅ς̅.

9 Ich ziehe πρακ(τορίας) dem πρακ(τόρων) der Ed. vor. Vgl. **392**, 10—11.

401. Einsetzung von Liturgen durch den Strategen. — 265 n. Chr. — Hermopolites. Vgl. S. 349.

P. Flor. 2 VII ed. Vitelli. Nachtr. von Wilcken, Arch. IV 424 f.
Lit.: Wilcken l. c. und Arch. III 529 ff.

Die beiden Komarchen des Dorfes Enseu, vertreten durch die „Diebesspürer“, schlagen 2 Personen für die Komarchie vor. Der Stratege schreibt darauf oberhalb dieses προσάγγελμα sein πρόγραμμα (vgl. **398**), in dem er die Vorgeschlagenen ernennt und ermahnt. Eine Auslosung durch den Epistrategen findet also nicht statt. Nachdem das Papyrusblatt öffentlich ausgehängt worden war, ist es von dem ὑπηρέτης des Strategen einregistriert worden (Z. 200f.), wie in **398**. Zum Geschäftsgang vgl. Arch. III l. c. Flor. 2 enthält noch mehrere Paralleltexte.

Col. VII.

[ρ]ν̣α̣
(4. H.) [Φλάνιος Πα]νί[σκ]ος ὁ καὶ Λό[γγο]ς στρα(τηγὸς) Ἑρμ̣ο̣πολ(είτου).
[Τοῦ δοθέν]το[ς] μοι προσ[αγγ]έλματος ὑπὸ κω̣μαρχῶ̣ν̣
[κώμης Ἐν]σεῦ διὰ τῶν λησ̣[τοπ]ιαστῶν εἰσδ̣ι̣δ̣όν-
[των] τ̣ο̣ὺ̣ς̣ δ̣ι' αὐτοῦ ἐγ[γεγ]ραμμένους εἰς τὴν
[ἀν]θ' ἑαυτῶν κωμαρχίαν [ἴσ]ον δημοσίᾳ̣
[πρ]όκειται, ἵνα πάντες ε[ἰδ]ῶσι καὶ οἱ εἰσαγ-
γελέντες ἔχωνται τῶν [ἐγχει]ρισθέντων αὐτοῖς
ὑγιῶς καὶ πιστῶς εἰς τὸ ἐ[ν μηδ]ενὶ μεμφ[θῆ]ν̣α̣ι̣.
(5. H.) Ἐσημει[ωσά]μην.

165 ρνα = Pagina 151.

(4. H.) (Ἔτους) ιβʹ τοῦ κυρίου ἡμῶν Γαλ[λι]ηνοῦ Σεβα̣σ̣τ̣ο̣ῦ̣
Ἐπεὶφ γ̄.
(1. H.) Φ̣λ̣αυίῳ Πανί̣σκῳ τῷ καὶ Λόγγῳ [στ]ρατηγῷ Ἑρμοπολεί̣τ̣ο̣υ̣
π̣[αρὰ] Αὐρηλίων Τυράννου Ἑρμα[πό]λλωνος καὶ Παθώτου
. . . . [.] . . ἀμφοτέρων κωμαρχῶ[ν κ]ώμης Ἐνσεῦ δι' ἡμῶν,
Α̣ὐ̣[ρη]λ̣ίων Πόλλωνος Παθώ[του κ]α̣ὶ̣ Ὥρου Ἀτρῆτος ἀμφοτέ-
ρων ληστοπιαστῶν [κα]ὶ τῶν [λοιπ]ῶν δι' ἡμῶν τῶν πα-
ρ̣ό̣ν̣των. Δίδομεν καὶ προσα[γγ]έλλομεν τοὺς ὑπογε-
γ̣ραμμένους κωμάρχας, ἐφ' ᾧ α[ὐτ]οὺς ἀντιλα[βέσθ]αι τῆς
χρείας ἀπὸ σήμερον, ἥτις ἐστὶν [γʹ τ]οῦ Ἐπεὶφ το[ῦ ἐνεστ]ῶ̣τ̣ο̣ς̣
ι̣βʹ (ἔτους), ὄντας εὐπόρους καὶ ἐπι[τη]δείους κινδύ[ν]ῳ̣ ἡμῶν
κ̣α̣ὶ̣ πάντων τῶν καταμενόν[τ]ων ἐν τῇ αὐτῇ κώ-
μ̣η̣ ἐξ ἀλληλεγγύης, οὓς καὶ ἡμ[εῖ]ς ἐγγυώμεθα. Εἰσὶ δέ·
Παῆσις Κολλούθου μητ(ρὸς) [. . .] . ης
ὡς (ἐτῶν) με πόρ[ον ἔ]χ(ων) [(δραχμῶν)] (δισχιλίων)
Ποτάμων Παήσιος μητ[(ρὸς) . . .] . ή̣σ̣ι̣ος
ὡς (ἐτῶν) λε πόρ[ον ἔ]χ(ων) (δραχμῶν) (δισχιλίων)
Διευτ[ύχει].
(Ἔτους) ιβʹ Αὐτοκράτορος Καίσαρ[ος Πουπλί]ου Λικιννίου
Γ̣α̣λ̣λιηνοῦ Γερμανικοῦ Μεγίστ[ου Εὐσε]β[οῦς Εὐτυ]χοῦς
Σ̣ε̣βαστοῦ Ἐπεὶφ γ̄. (2. H.) Οἱ π[ροκείμενοι κω]μάρχαι
δ̣ι̣' ἡμῶν τῶν παρόντ[ων ληστοπια]σ̣τῶ(ν)
ἐπιδεδώκαμεν. Α[ὐρήλιος . . . .]
[. .]ος ἔγραψα ὑπὲρ αὐτ(ῶν) [γράμματα μὴ εἰδότων]
(3. H.?) Ἐσημ(ειωσάμην).
(6. H.) Τύρανν[ος ὑπηρέτης δημοσίᾳ προθεὶς κα]-
[τε]χώρ(ισα). [ ]

186 In Z. 214 heißt es noch genauer: κινδύνῳ ἡμῶν κ[αὶ τῶν] ἀπὸ τῆς [κώ]μης καὶ καταγειν[ομέ]νων πάντων. Hier sind die cives und incolae von einander unterschieden.

402. Zur Oktroyierung von ἀρχαί. — 250 n. Chr. — Hermopolis. Vgl. S. 350.

CPR 20 ed. Wessely.
Lit.: Mitteis, Kommentar ebendort S. 103 ff.

Dieser Papyrus ist zurzeit unser wertvollstes Zeugnis dafür, daß im III. Jahrh. der Zwang auch auf die Übernahme von ἀρχαί ausgedehnt war. Es handelt sich hier um das Amt des Kosmeten (vgl. oben S. 139), das in Z. 13 und 18 ausdrücklich als ἀρχή (nicht λειτουργία) bezeichnet wird. Der Text zeigt uns drastisch in einem Einzelfall, wie der Druck der Ämter zum wirtschaftlichen Ruin führte. Der Petent Hermophilos will lieber auf sein ganzes Vermögen „gegen Herausgabe des gesetzlichen Drittels", also auf Zweidrittel seines Vermögens verzichten, als daß sein Sohn die Kosmetie

übernimmt, die er selbst soeben erst bis zur finanziellen Erschöpfung geführt hat. Zur Erklärung des Textes, der viele schwierige Fragen aufwirft, verweise ich auf den eingehenden Kommentar von Mitteis. Hinzugefügt sei nur, daß nachträglich BGU 473 weiteres Material über die *ἔκστασις τῶν ὑπαρχόντων* gebracht hat. Vgl. Mitteis, Hermes 32, 651. Vgl. auch meinen Hinweis auf Dio Cass. 47, 17, 1f. in bezug auf das *νενομισμένον τρίτον* im Arch. II 184. Wenn ferner Hermophilos unter Hinweis auf das periculum nominatorum dem Prytanen den Vorschlag macht, er solle Zweidrittel seines Vermögens nehmen und dann selbst die Kosmetie führen (denn so wird *τὰ τῇ ἀρχῇ διαφέροντα πάντα ἀποπληρώσεις* zu fassen sein), so möchte ich hiermit jetzt Oxy. VIII 1119 (**397**) in gewisse Parallele stellen, wo der *ἀμφοδογραμματεύς*, der einen ungesetzlichen Vorschlag gemacht hatte (vgl. in unserm Text *τὴν ἄνομον ὀνομασίαν* II 9), selbst die Liturgie übernahm, nur daß hier keine *ἔκστασις* eintrat. Vgl. auch zu Flor. 39 (**405**). — Col. I ist der Brief, in dem Hermophilos dem Prytanen diesen Antrag stellt. In Col. II teilt Hermophilos dem Präfekten mit, daß er das Schreiben an den Prytanen in duplo mitsamt dieser Eingabe in dem Augusteum von Hermopolis zu Füßen der Statuen des Kaisers und der Kaiserin deponiere. Die erfolgte Deposition wird ihm in Z. 21 bestätigt (*ἀπέθου*). Zu diesem eigenartigen Vorgang vgl. außer Mitteis jetzt auch F. Blumenthal, Arch. V 335f.

Col. I.

[1] [Αὐρήλιος Ἑρμόφι]λος Ὡρίωνος κοσμητεύσας Ἑρμοῦ πόλεως τῆς μεγάλης ἀρχαίας καὶ λαμπρᾶς καὶ σεμνοτάτης [2] [Αὐρηλίῳ Εὐδαίμ]ονι τῷ καὶ Θεοδότῳ γυμνα[σι]αρχήσαντι καὶ ἀρχιερατεύσαντι βουλευτῇ διαδεχομένῳ τὴν πρυ[3][τανείαν τῆς αὐτ]ῆς πόλεως τῷ τιμιωτάτ[ῳ] χαίρειν. Φθά[σ]ας μὲν ἐπέστειλα τῇ κρατίστῃ βουλῇ διὰ σοῦ [4] [τὰ διὰ τοῦ ἐ]πιστάλματος τοῦ τοῦ νομοῦ στρατηγοῦ Αὐρηλίου Ἱέρωνος διὰ Αὐρηλίου Ἑ[ρ]μοῦ στρατηγικ[ο]ῦ [5] [ὑπηρέτου ἀ]ντιγραφέντα μοι ὑπὸ τοῦ λαμπροτάτου ἡμῶν ἡγεμόνος Ἀππίου Σαβείνου, πρὸς ἃ ἠξί[6][ουν παρ'] αὐτοῦ ἐξιστανόμενος πάντων ὧν ἔχω τοῖς προβαλομένοις τὸν ἡμέτερον υἱὸν [7] [Αὐρήλιον Ὡρίω]να τὸν καὶ Ἑρμαῖον εἰς κοσμητείαν τῆς αὐτῆς πόλεως μεθ' ἣν ὑπογύως [8] [ἐξετέλεσα ὑπὲρ] ἐμαυτοῦ ἐξαναλωθείς, δι' ὧν ἠθέλησεν τὸν κίνδυνον τῆς προβολῆς εἶναι πρὸς [9] [τοὺς ὀνομάσαντ]ας, τὸν δὲ [τ]οῦ νομοῦ στρα⟨τη⟩γὸν βίαν γεινομένην κωλῦσαι, εἰ γείνο[ι]το παρὰ τὰ ὑπ' αὐτοῦ [10] [σωτηρίως διηγορευθ]έντα, ἅπερ ἐπενήνεκται ἀκολούθως τῇ ἐκδοθείσῃ μοι ὑπὸ τοῦ εἰς τοῦτο ἐπισταλέν[11][τος ὑπηρέτου ὑ]πογραφῇ ἐπὶ τῆς μ[ι]ᾶς καὶ εἰκάδος τοῦ ὄντος μηνὸς Ἐπείφ. Ἐ^{χ}θὲς δὲ, ἥτις ἦν κβ̄ [12] [Ἐπεὶφ, ἐξεδόθη μοι] διὰ βουλευτ[ι]κοῦ ὑπηρ⟨έτ⟩ου ἐπίσταλμά σου τοῦ Εὐδαίμ[ο]νος τοῦ καὶ Θεοδότου αὐτο[13][προσώπως ἀντεπ]ισταλέντ[ο]ς περὶ τῆ[ς α]ὐτῆς ἀρχῆς μετ' ἔκστασιν καὶ παραμορισθέντα ἐκ τῶν νόμων [14] [καὶ] τῆς [ὑπογρα]φῆ[ς]

I 11 *ὑ]πογραφῇ* W. *ἀ]πογραφῇ* Ed. Nachher *Ἐχθὲς*.
13 *ἀντεπ]ισταλέντος* (nach II 5) W. *μοι ἐπ]ισταλέντος* Ed. Zu emendieren ist: *ἀντεπιστείλαντος*. — l. *παραμερισθέντα*.
14 *[ὑπογρα]φῆ[ς]* W. *[ἀπογρα]φῆ[ς]* Ed. — *ἐπιφ[θ]όνως* W. *ἐπιφ[ρ]όνως* Ed.

ἐπιφ[ϑ]όνως τινὰ δηλώσαντος κατὰ τὸ ἀναγκαῖον. Καὶ νῦν ἀντεπιστέλλω σοι, 15 ἐπ[ε]ιδ[ήπερ τῷ] ἐκστάντ[ι] καὶ τῶν ἰδ[ί]ων ἀφισταμένῳ ὑπάρχει ἐκ τῶν νόμων καὶ τῶν ϑείων διατά16[ξ]εων [. . . .]η . [. . . βο]ήϑεια τὸ μηδεμίαν βίαν πάσχειν [ο]ἷς ἁρμοζόμενος ὁ λαμπρότατος ἡγεμὼν καὶ 17 [κ]αϑοσιο[ύμ]εν[ος] ἠϑέλησεν [τὸ]ν στρατηγὸν βίαν κωλῦσαι, προσϑεὶς τὸν κίνδυνον τῆς προβολῆς εἶναι περὶ 18 [τοὺ]ς ὀνομ[ά]σαντας. Εἰ δὲ οἴει, σὺ [αὐ]τὸς τὰ πάντα μου λαβὼ[ν] ἀντὶ τοῦ νενομισμένου τρίτου τὰ τῇ ἀρχῇ [δ]ιαφέροντα 19 [π]άντα ἀ[π]οπληρώσεις καὶ [μ]ὴ ἐνεδρεύειν μή[[δ]]τε τὴν πόλιν μήδε τὴν κρατίστην βουλήν. Ἀρκεσϑή20[σο]μαι γὰρ τῷδ[ε] τῷ ἀντεπι[σ]τάλματι ἐ[ν] μεγίστῳ δικαιώματι. Αὐρήλιος Ἑρμόφιλος Ὡρίωνν[ος] κοσμητεύσας 21 [ἐρρῶσϑ]αί σε εὔχ[ομ]αι, φίλτατε. 22 [(Ἔτους)] α´ Αὐτοκρά[το]ρος Καίσαρος Γαίου Μεσσίου Κυίντου Τραιανοῦ Δεκίου Εὐσεβοῦς Εὐτυχοῦς Σεβαστοῦ Ἐφεὶπ κγ̄.

Col. II.

1 Αὐρηλίῳ Ἀππίῳ Σαβείνῳ τῷ λαμπροτάτῳ ἡγεμόνι 2 παρὰ Αὐρηλίου Ἑρμοφίλου Ὡρίωνος κοσμητεύσαντος Ἑρμοῦ πόλεως τῆς μεγάλης ἀρχαίας 3 καὶ λαμπρᾶς καὶ σεμν[ο]τάτης. Ἐπίσταλμα δισσὸν γραφὲν ὑπ᾽ ἐμοῦ πρὸς τὸν τὴν πρυτα4νείαν διαδεχόμενον Αὐρή[λ]ιον Εὐδαίμονα τὸν καὶ Θεόδοτον γυμνασιαρχήσαντα βουλευτὴν 5 τῶν [α]ὐτ(ῶν) Ἑρ(μοπολιτῶν) πρὸς ἃ αὐτὸς ἀ[ντ]ε[π]έστειλέν μοι αὐτοπροσώπως μόνος περὶ κοσμητείας 6 εἰς ἣν ὠνομάσϑη οὐ δεόντως ὁ ἡμέτερος υἱὸς Αὐρήλιος Ὡρίων ὁ καὶ Ἑρμαῖος μεϑ᾽ ἣν ἐξε7τέλεσα ὑπὲρ ἐμαυτοῦ προτέ[ρ]αν ὑπογύως φϑάσαντός μου ἐπιστείλαντος τῇ κρατίστῃ 8 βουλῇ δι᾽ αὐτοῦ τὰ ἀντιγραφέντα μοι ὑπὸ τοῦ λαμπροτάτου ἡγεμόνος σοῦ τοῦ δεσπότου 9 δηλαδὴ [ἐ]ξ ἀξιώσεώς μου μ[ε]τ᾽ ἐκστάσεως πάντων τῶν ὑπαρχόντων μου πρὸς τὴν ἄνο10μον ὀνομασίαν καὶ μὴ δε[χο]μένου αὐτὰ ὡς περιέχει ἀποτίϑεμαι ἐν τῷ ἐνταῦϑα 11 Σεβαστείῳ παρὰ τοῖς εἴ[χ]νεσι τοῦ κυρίου ἡμῶν καὶ ϑεοφιλεστάτου Αὐτοκράτορος 12 Γαίου Μεσσ[ί]ου Κυίντου Τραιανοῦ Δεκίου Εὐσεβοῦς Εὐτυχοῦς Σεβαστοῦ καὶ Ἑρεννίας 13 Κουπρεσσήνας Ἐτρουσκίλλας Σεβαστῆς ἅμα τῷδε τῷ μαρτυροποιήματι πρὸς τὸ μηδὲν 14 τὸ σὸν μέγεϑος λανϑάνειν, ἀσφαλιζόμενος τὴν περὶ ἐμὲ φρουρὰν διὰ ὑπηρέτου βουλευ15τικοῦ καὶ φύλακος τῆς πρυτανείας ἔτι ἀπὸ εἰκάδος τοῦ ὄντος μηνὸς Ἐπεὶφ παρὰ τὰ 16 ὑπὸ σοῦ σωτηρίως διηγορευμένα, φυλασσομένων μοι ὧν ἔχω παντοίων δι[κ]αί17ων. 18 (Ἔτους) α´ Αὐτοκράτορος Καίσαρος Γαίου Μεσσίου Κυίντου Τραιανοῦ Δεκίου Εὐσεβοῦς Εὐτυχοῦς 19 Σεβαστοῦ Ἐπεὶφ κγ̄. Αὐρήλιος Ἑρμόφιλος Ὡρίωνος κοσμητεύσας ἀπεϑέμην 20 ὡς πρόκειται. 21 (2. H.) Α(ὐρήλιος) Ἡρωδίων ἔσχον ἴσον. (Ἔτους) α´ Ἐπεὶφ κγ̄. Τούτων τὰ ἴσα ἀπέϑου.

15 l. ἀφεσταμένῳ W.
16 βο]ήϑεια W. . .]ηϑεια Ed.
18 Zu τὰ τῇ ἀρχῇ διαφέροντα (= Amtsgeschäfte, Amtspflichten s. oben) vgl. Flor. 39, 12 (405).

20 Wenn hinter κοσμητεύσας wirklich nichts fehlt, ist der Name wohl mit εὔχομαι zu verbinden. Die Nennung des Namens an dieser Stelle ist sehr auffallend.

403. Vorschlag eines Liturgen durch den *συστάτης ἀμφόδου*. — 363 n. Chr. — Oxyrhynchos. Vgl. S. 348 f. und S. 353.

P. Oxy. VIII 1116 ed. Hunt.

Der Wert dieses Stückes liegt vor allem darin, daß aus der Vergleichung von Z. 5 und 20 hervorgeht, daß *ἄμφοδον* und *φυλή* zusammenfielen, d. h. daß die Phyle die Bewohner eines *ἄμφοδον* umfaßte. Vgl. S. 348 f. Über die in 8 ff. bezeichnete Liturgie ist sonst nichts bekannt. Es handelt sich um einen Dienst im Augustustempel von Alexandrien.

[1] Ὑπατ̣ε̣ίας Ἰουλιανοῦ τὸ δ' καὶ Σαλλουστί[ου] [2] τοῦ λαμπ(ροτάτου) ἐπάρχου τοῦ ἱεροῦ πραιτωρίου Θὼ[θ .] [3] Φλαουίῳ Ψόειτι λογιστῇ Ὀξυρυγχίτ[ο]υ [4] [πα]ρ[ὰ] Α[ὐ]ρηλίου Μουσῆ Θέωνο̣ς [5] ἀπὸ τῆς αὐτῆς πόλεως συστάτου̣ ἀ̣μ̣φό̣δ̣ου̣ [6] Δρόμου Γυμ⟨ν⟩ασίου καὶ ἄλλων ἀμφό̣δ̣ω̣ν̣. [7] Δίδωμει καὶ εἰσαγγέλλω τῷ ἰδίῳ [8] μου κινδύνῳ εἰς ἔ̣π̣ω̣ψιν ε̣ . . . [9] μαρίων τῶν ἐξ ἔθους παρεχω[10]μένον ἐν τῷ ἱερῷ Ἀγούστο̣υ̣ ὅ̣ν̣[τι] [11] ἐπὶ τῆς λαμπ(ροτάτης) Ἀλεξανδρ⟨ί⟩ας ἐφ' ἐ[12]νιαυτὸν ἕνα τῶν ἀπ[ὸ ν]εωμηνίας [13] Θὼθ ἕως Μεσορὴ ἐπαγωμένο̣υ̣ [14] πέμπτης καὶ αὐτῆ[ς τῆς π]έμπτης [15] τοῦ ἐνεστῶτος ἔτους μ (ἔτους) θ (ἔτους) τὸν [16] ἑξῆς ἐ̣ν̣[γε]γραμμένον ὄντα ἐπι[17]δήτιον πρὸς τὴν χρίαν. [18] Ἔστι δέ· [19] Αὐρήλιον Ζακάωνος Μελανᾶ̣ [ ] [20] ἀπὸ τῆς αὐτῆς πόλεως τῆς αὐτῆς φ[υλῆς]. [21] (2. H.) Αὐρήλιος Μουσῆς συστάτη[ς] [22] ἐπιδέδωκα [23] (3. H.) Διόσκορος [. . . . .] . . ας ἔσχον . [.] [24] [ ] [25] (4. H.) Ἀ̣μ̣μ̣ών[ιος.

8 = ἔποψιν.
9—10 παρεχομένων.
13 = ἐπαγομένων.
17 = ἐπιτήδειον, χρείαν.

404. Vorschlag eines Liturgen durch den *γνωστήρ*. — 390 n. Chr. — Hermopolis. Vgl. S. 353.

P. Lips. 65 ed. Mitteis.

Dieser Vorschlag des *γνωστήρ* der 5. Phyle geht wohl deshalb an den *νυκτοστράτηγος*, weil es sich um einen Posten in seinem Bureau handelt. Vgl. S. 353.

[1] Ὑ[πατ]είας [τ]οῦ δεσπότου ἡμῶν Οὐαλεντινιανο[ῦ] [2] [το]ῦ αἰων[ίο]υ Αὐγ[ο]ύ[σ]του τὸ δ καὶ Ν[εωτερ]ί[ου] [3] τ[οῦ] λαμπροτάτου. [4] Αὐρηλίῳ Κ[ύ]ρῳ Φιλάμμωνι πολι[τ]ευ[5]ομένῳ ἐν[άρχ]ῳ νυκτοστρα[τ]ήγῳ Ἑρμοῦ [6] πόλεως τῆς [λ]α[μπ]ροτάτης [7] π(αρὰ) Αὐρ(ήλιος) Νε[ῖ]λος Ἄμμωνος γνωστὴρ ε'' [8] φυλ(ῆς) ἀπὸ τῆς αὐτῆς πόλεω[ς]. [Δ]ίδομαι [9] καὶ εἰσαγγέλλω τὸν ἑξῆς ἐγγεγραμμένον [10] λιτουργὸν λιτουργήσαντ[α παρὰ] τῇ σῇ [11] ἐπιεικίᾳ πρὸς ἐνιαύσιον χ[ρόνον] [12] ὑπὲρ τῆς δημοτικῆς αὐτο[ῦ λ]ι[το]υργίας [13] ἀντὶ Πασίων Κοπρέου ἀπο[θ]α̣νόν[14]τος. [15] Ἔστι δέ· [16] Φρουρίου λιβὸς [17] Ὡρίων Ἀτρῆτος μητρ(ὸς) [. . . . .].

[18] Αὐρήλιος Νεῖλος Ἄμμωνος γνωστ(ὴ)ρ ἐπιδέδ[ωκα.]

4 l. Φιλάμμωνος.
7 Der Name ist hier wie in 13 als indeklinabel behandelt (Ed.).
8 l. Δίδωμι.
10 λιτουργήσοντα ist gemeint.
12 Zu δημοτικῆς vgl Oxy. VIII 1101, 24.
17 μητρ(ὸς) [. . . .] W. Μητρ( ) Ed.

405. Übernahme einer Liturgie durch den Vorschlagenden. — 396 n. Chr. — Oxyrhynchos. Vgl. S. 354.

P. Flor. 39 ed. Vitelli. Nachtr. von Wilcken, Arch. III 534 f., IV 431 f.

Formell handelt es sich hier um eine *συνάλλαξις*, durch die der *συστάτης* Hierax einem Amesos die auf diesen entfallen eLiturgie abnimmt. Zur *συνάλλαξις* vgl. z. B. BGU IV 1062 (**276**). Unser Fall bekommt aber eine ganz besondere Nuance, falls meine neue Ergänzung *κα[τ' ἄγνοιαν]* in 6 zutreffend ist. Der Text besagt dann, daß der *συστάτης* dem Amesos die Liturgie aus Unkenntnis unberechtigterweise aufgebürdet hatte und darum nun seinerseits die Liturgie übernimmt. Der Fall ist hiernach ganz ähnlich wie in Oxy. VIII 1119 (**397**), wo der *ἀμφοδογραμματεύς* nach Feststellung der Rechtslage gleichfalls die Liturgie selbst übernimmt. Vgl. auch die Einleitung zu CPR 20 (**402**). Um so wichtiger wäre, wenn jetzt erkannt werden könnte, was nach Z. 9 der *συστάτης* von dem anderen empfangen hat. Nach Z. 10 übernimmt es nun der *συστάτης*, den Mann zu stellen, der die Liturgie ausüben soll, und er garantiert dem Amesos, daß er betreffs der Liturgiepflichten völlig unbehelligt bleiben werde. Die in Frage stehende Liturgie ist der Posten eines Briefboten beim cursus velox (Schnellpost). Kehrt das sonst unbekannte *ἀλιαδίτου*, das ein Synonymum von *γραμματηφόρος* bedeuten muß, vielleicht in dem *αλιαδ/* in P. Klein. Form. 1125 und 1126 wieder?

1 Ὑπ[α]τείας τῶν δεσποτῶν ἡμῶν [Ἀρκαδ]ί̣ο̣υ̣ τὸ δʹ καὶ Ὁνωρίου τὸ γʹ τῶν αἰωνίων Αὐγούσ[των] 2 Θὼθ α/. 3 Αὐρήλιος Ἱέραξ Ὥρου τῆς λα[μπρᾶ]ς καὶ λαμπροτάτης Ὀξυρυγχιτῶν πόλεως 4 σ̣υστάτης τῆς μελλούσης λιτου[ργεῖν φυ]λῆς καὶ ἄλλων ἀμφόδων Αὐρηλίῳ Ἀμέσῳ 5 Ἄμμωνος ἀπὸ τῆς αὐτῆς πόλεω[ς τῆς α]ὐ̣τῆ̣ς̣ φυλῆς χαίρειν. Ὁμολογῶ συνηλλαχέναι πρό̣ς 6 σε τὴν ἐνχιρισσ̣τῖσάν σοι ὑπ' ἐμοῦ κα[τ' ἄγνοιαν] λιτουργίαν εἰς χώραν ἀλιαδίτου ἤτοι γραμ7ματηφόρου τοῦ ὀξέως δρόμ[ου ἀπὸ νεο]μηνίας τοῦ ὄν̣τος μηνὸς Θὼθ 8 ἕ̣ως Μεσ̣[ορὴ] ἐπ[αγομένων πέμπτης καὶ α]ὐτῆς τῆς πέμπτης τοῦ ἐν[ε]σ̣τ̣ῶ[τος] 9 ἔτους οὐ μ[ὴ]ν ἀλλὰ καὶ δεδέχθαι καὶ ἐσχη]κέναι παρά σου τ̣ὰ σταθέντα σ̣ . λ[.] . [. . .] 10 κ̣[.]ι̣[— — — — — — —] ἀντὶ σοῦ παραστῆσ̣α̣ι τὸν ἐκτελ[έ]11[σοντα — — — — παρέξεσθαί] σε ἄσκοιλτον καὶ ἀζήμιον καὶ ἀπ̱[αρε]12[νόχλητον καὶ ἀνείσπρακτον περὶ πάντων τῶ]ν διαφερόντων πρὸς τὴν αὐτὴ[ν λιτουρ]13[γίαν — — — Κυρία ἡ ὁμολογία δισ]σὴ γραφῖσα καὶ ἐπερ(ωτηθεὶς) ὡμολόγησα. 14 [(2. H.) — — — — — —]ης ἐκ . . ωμ . . . . την α̣πο [. . . . .] 15 [— — — — — — Διό]σ̣κορος βο . . [— — — —] 16 [— — — — — —]β[— — — —]

4 Zu *συστάτης* vgl. oben S. 353. Der Ausdruck *τῆς μελλούσης—φυλῆς καὶ ἄλλων ἀμφόδων* wird erst jetzt ganz klar, wo wir aus Oxy. VIII 1116 (**403**) wissen, daß *φυλή* und *ἄμφοδον* dieselbe Größe bezeichnen.

6 l. *ἐνχειρισθεῖσαν*.

10 *κ[α]ὶ* wäre an sich möglich.

11 = *ἄσκυλτον*.

12 Zu *διαφερόντων κτλ.* vgl. CPR 20 I 18 (**402**).

406. Vorschlag von Liturgen durch die Komarchen. — 350 n. Chr. — Hermopolites. Vgl. S. 354.

P. Amh. 139 edd. Grenfell-Hunt (Taf. XX).

Über den Geschäftsgang vgl. oben S. 354.

[1] *Αὐρηλίῳ Διοκλεῖ πραιπ(οσίτῳ) ιβ″ πάγ[ου νομ]οῦ Ἑρμουπολείτου* [2] *π(αρὰ) Αὐρηλίων Πήσιος καὶ Πασώτου ἀμφοτέρων κωμάρχων κώμης Ἰβιῶ-ν[ος] Παν . . μερι̣[. .]ς* [3] *τοῦ ὑπὸ σὲ πάγου. Δίδομε[ν κ]αὶ εἰσαγγέλλομεν τοὺς ἑξῆ[ς ἐ]ν̣γεγραμμένους κωμάρχας [κ]αὶ εἰρή*[4]*ναρχοι καὶ σιτολόγοι καὶ ἀπαι-τηταὶ⟨ς⟩ ἀννώναι[ς ὄντ]α̣[ς ε]ὐπόρους κινδύνῳ ἡμῶ[ν] κ̣[α]ὶ̣ π̣ά̣[ντων]* [5] *τῶν ἀπὸ τῆς ἡμετ[έ]ρας κώμης.*

	Εἰσεὶ δέ·	
κώμαρχοι·	*σιτολόγοι·*	*ἀπαιτηταὶ⟨ς⟩ ἀννώναις·*
Πινου[τ]ίων Ἁρπάλου,	*Πινουτίων Δημητρίου,*	*Μουσαῖος Πεκύσιος,*
Τ̣ . . . ε̣ις Σώτου	*Σερῆνος Σαραπ[ί]ωνος,*	*Ἀσκληπιάδης Μ[ου]σαίου,*
	Πῆσις Κοπρῆτος,	*Ὡρίων Παήσιο[ς],*
[ε]ἰρήναρχ[ο]ν·	*Ἀκῶ[ρ]ις Δ̣ίου,*	*Παγένης Δίου,*
. . . ς Φιβίωνος.	*Ἰωσῆφι[ο]ς Κ[ο]λλούθου,*	*Ἰβόις Καλοκαίρου,*
	Μουσαῖος Κάστορος,	*Μέλας Πεκύσιος.*
	Ἑρμῖνος Περούσιος,	
	Ἰσίδωρος Μουσαίου,	
	Πελῦς Ἡρακλείου,	
	Μέλα[ς] Διογένους.	

[18] *Ο̣[ὕ]σ̣περ ἐγγυώμεθα καὶ παραστήσομεθα ἐξ ἀλληλεγγύης ἀμέμπτως ⟨ἀποπληροῦντας⟩ τὴν ἐνχιρισθῖσαν αὐτοῖς* [19] *[λ]ι[τ]ουργίαν ἐν μηδενὶ μεμ-φθῆναι. Ἐὰν δέ τις αὐτῶν ἀφυστερήσῃ καὶ μὴ παραστησόμεθα,* [20] *ἡμ̣ε̣ῖ̣ς αὐτοὶ τὸν ὑπὲρ αὐτοῦ λόγον ὑπομενοῦμεν ἢ ἔνοχοι εἴημεν τῷ θίῳ ὅρκῳ καὶ τῷ περὶ τούτου* [21] *κινδύνῳ καὶ ἐπερωτηθ(έντες) ὡμολογ(ήσαμεν). Μετὰ τὴν ὑπατείαν Οὐλπίου Λιμενίου καὶ Ἀκοντίου* [22] *Κατυλλίνου τῶν λαμπρο-τάτων Φαμενὼθ δ̅. Οἱ προκείμενοι Πήσιος καὶ Πασώτου* [23] *εἰσαγγέ⟨ι⟩λο-μεν καὶ ἐνγυώμεθα ὡς πρόκειται. Αὐρήλιος Σαραπίων γνωστὴρ ἔγραψα ὑπὲρ αὐτῶν* [24] *[γ]ρά[μ]ματα μὴ εἰδότων.*

4 l. *εἰρηνάρχους* usw.
18 Beachte die Aufnahme der *παράστασις*-Formel. Vgl. S. 354.

407. Eine Stiftung zur Unterstützung von Liturgen. — 202 n. Chr. Vgl. S. 355.

P. Oxy. IV 705, 54—79 edd. Grenfell-Hunt. Nachtr. von Wilcken, Arch. IV 218. Lit.: v. Wilamowitz, GGA 1904, 660. Wilcken l. c.

Der Text ist lehrreich für die Wirkungen des Liturgiesystems. Im Oxyrhynchites waren einige Dörfer, in denen der reiche Aurelius Horion und seine Söhne Grundbesitz hatten, durch die Liturgien derartig herunter-gekommen, daß Horion ein Kapital stiftete zum Ankauf eines Gutes, dessen

Renten für die Unterstützung der Liturgen jenes Dorfes verwendet werden sollten. Der Annahme von Wilamowitz, daß die Dörfer auf kaiserlichem Boden liegen (wegen *τὴν δὲ ὑμετέραν γῆν ἀγεώργητον καταλιπεῖν*), möchte ich nicht zustimmen. Vielmehr gehörte das Domanialland in der Regel zur Dorfflur. Wenn die Bauern nun verarmen, so flüchten sie und die Domäne findet keine *δημόσιοι γεωργοί*. Vgl. im übrigen die Ausführungen zu der anderen Stiftung desselben Horion, die oben als Nr. **153** behandelt ist.

54 Αὐτοκράτωρ Καῖσαρ Λ[ο]ύκιος [Σ]επτίμ[ιος Σ]ε[ου]ῆρος 55 Εὐσε-β[ὴ]ς Περτίναξ Σεβαστὸς Ἀραβικοῦ Ἀδιαβηνικὸς 56 Παρθικοῦ̣ Μεγίσ[το]υ̣ [κ]αὶ Αὐτοκράτωρ Καῖσαρ 57 Μᾶρκο[ς] Αὐρήλιος Ἀντωνῖνος Εὐσεβὴς Σεβαστὸς 58 Αὐρηλίῳ Ὡρείωνι χαίρειν. 59 Ἀποδεχόμεθά σε καὶ̣ ταύτης̣ τῆς ἐπιδόσεως ἣν 60 ἀξιοῖς ἐπιδοῦναι ταῖς κώμαις τῶν Ὀξυρυγχειτῶν 61 ἀποδιδοὺς ἀμοιβὴν ἐνκτήσεως. Τ[ὸ] ὅμοιον δὴ καὶ 62 ἐ[π]ὶ τούτου φυλαχθήσεται καὶ καθότ[ι ἠ]θέλ̣ησας ἀμε 63 τάστρεπτον εἰς ἕτερόν τι δαπανήσ[εσ]θαι τ̣ὴ̣ν χάριν. 64 Ἔστιν δὲ ἡ ἀξίωσις·

65 Τοῖς εὐμενεστάτοις Αὐτοκράτ[ο]ρσι Σε[ουήρ]ῳ καὶ Ἀντωνίνῳ 66 τοῖς πάντων ἀνθρώπων σωτῆρσιν [κ]αὶ εὐεργέταις 67 Αὐρήλιος Ὡρείων γενόμενος στρατη[γ]ὸς καὶ ἀρχιδικασ 68 τὴς τῆς λαμ[π]ροτάτης πόλεως τῶν Ἀλεξανδρέων χαίρειν. 69 Κῶμαί τινες τοῦ Ὀξυρυγχ̣είτου νομοῦ, ὦ φιλανθρωπότα 70 τοι Αὐτοκράτορες, ἐν αἷς ἐγώ τε ⟨καὶ⟩ οἱ υἱοί μου χωρία κεκτήμε 71 θα, σφ[ό]δρα ἐξησθένησαν ἐνοχλούμεναι ὑπὸ τῶν κατ' ἔτος 72 λειτουργιῶν τοῦ τε ταμείου καὶ τῆς παρα̣[φ]υ̣[λ]ακῆς τῶν 73 τόπων, κινδυνεύουσί τε τῷ μὲν ταμείῳ παραπολέ 74 σθαι, τὴν δὲ ὑμετέραν γῆν ἀγεώργητον καταλιπεῖν. 75 Ἐγὼ [ο]ὖν καὶ τοῦ φιλανθρώπου καὶ τοῦ χρησίμου στοχα 76 ζ[όμε]νος βούλομαι εἰς ἀνάκτησιν αὐτῶν ἐπίδοσίν 77 τ[ινα] βραχεῖαν ἑκάστῃ ποιήσασθαι εἰς συνωνὴν 78 χ[ωρί]ου, οὗ ἡ πρόσοδος κατατεθήσεται εἰς τροφὰς καὶ 79 δ̣[απά]νας τῶν κατ' ἔτος λειτουργησόντων ἐπὶ τῷ Hier bricht der Papyrus ab.

71 Zu *ἐξησθένησαν* vgl. **395**, 15.
74 Es ist auf die kaiserlichen Adressaten berechnet, daß die Schädigung des Fiskus und der Domäne durch die wirtschaftliche Notlage der Dörfer so besonders hervorgehoben wird. Mit *φιλανθρώπου* in 75 wird dann freilich auch auf die Menschenfreundlichkeit des Stifters hingewiesen.
78 Zur Stütze meiner Ergänzung *χ[ωρί]ου* statt *χ[όρτ]ου* (vgl. Arch. l. c.) kann auch noch auf Dittenberger, Or. Gr. I 59, 9 ff. hingewiesen werden.

408. Zur Landflucht der Liturgen. — 216 n. Chr. — Faijûm. Vgl. S. 355.

BGU I 159 ed. Krebs. Original von mir z. T. revidiert.

Für die Wirkungen des Liturgiesystems ist es bezeichnend, daß in dieser Eingabe an eine Behörde der Petent es wie etwas ganz Selbstverständliches hinstellt, daß er wegen des Vorschlags zu einer zu schweren Liturgie aus seinem Dorfe entwichen sei. Erst das Edikt des Valerius Datus (vgl. oben S. *235*) hat ihn wieder zurückgeführt.

[1][. . . . .] . αστω [. . .]τ̣ε του π̣υ̣[. . . . .] . καὶ ἀπὸ [2]τ̣[. . . . . λαχανο]σ̲π̲έρμου ἀρτ[αβῶ]ν τριῶν [ ]τ̣ο̣μ[ ]γδ[ ] γραμ- [3]μ[ατ . . . . . ο̣]ὐ̣κ ἐ̣ξέδετό μοι. Μετὰ δὲ ταῦτα ἀναδο[θέντο]ς μου [4]εἰς δη[μοσ]ί[α]ν λειτουργίαν βαρυτάτην οὖσαν ἀπ̣ἐ̣στ̣[η]ν̣ τῆς κώμης [5]οὐ δυνόμενος ὑποστῆναι τὸ βάρος τῆς λειτουργίας. Τοῦ οὖν [6]λαμπροτάτου ἡγεμόνος Οὐαλερίου Δάτου κελεύσ[αν]το[ς] ἅπαντας τοὺς [7]ἐπὶ ξένης διατρείβοντας εἰς τὰς ἰδίας κατεισέρχεσθαι, κατεισῆλθον. [8]Ἐπεὶ οὖν ὁ τούτου υἱὸς Αὐρήλιος Σωτήριχος [ἐ]ξηγητεύσας τῆς αὐτῆς [9]πόλεως ἐπῆλθέ̣ν̣ μοι ἐκπράσσων τὸ τριπλοῦν τοῦ ὀφειλομένου, [10]ἐπιδίδωμει καὶ ἀξ̣ι̣ῶ̣ ἀκοῦσαί μου πρὸς αὐτοὺς καὶ τὸ δοκοῦν σοι κελεύσῃς [11]γενέσθαι. Διευτύχει.
[12]Α[ὐρ]ήλιος Πακῦσις ὡς (ἐτῶν) ν οὐλ(ὴ) γόνατι ἀριστερῷ. [13][ ] . ου̣
[14](Ἔτους) κδ// Αὐτο[κράτορ]ος Καίσαρος Μάρκου Αὐρηλίου Σεουήρου Ἀντωνείνου Παρθικοῦ [15]Μεγίστου Β[ρεταννικοῦ Μεγ]ίστου Γερμανι[κοῦ Με]γίστου Εὐσεβοῦς Σεβαστοῦ Παῦνι ια̅.

2 λαχανο]σ̲π̲έρμου W. . .] . ερμου Ed. — Hinter τριῶν las der Editor: [διὰ?] τὸ μ[ὴ εἰ]δέν[αι] γράμμ[ατα. Ob diese Mitteilung hier zu erwarten? Außerdem schien mir für διὰ kein Platz zu sein und nachher vor δ kein ι zu stehen, sondern γ. Das führt etwa auf [ ]το μ[ὲν ἐ]γδ[όσθαι] γράμμ[ατα, ἀλλ' ο]ὐκ ἐξέδοτό μοι.

3 l. ἐξέδοτο.

8 τούτου ist der Mann, der Subjekt zu ἐξέδοτο ist.

KAPITEL IX.

DAS VERPFLEGUNGSWESEN.

1. HOF, BEAMTENSCHAFT UND HEER.

409. Ein Besuch des Ptolemaios Soter II im Faijûm. — Um 113 v. Chr. — Faijûm. Vgl. S. 356.

P. Teb. 48 edd. Grenfell-Hunt-Smyly.

Die Domanialpächter von Kerkeosiris, vertreten durch den Komarchen und ihre Presbyter, beschweren sich beim Dorfschreiber über einen *Λύκος*, der sie bei ihrer Feldarbeit gestört hat. Sie betonen im besonderen, daß sie dadurch verhindert würden, abgesehen von den *ἐκφόρια*, die 80 Artaben Weizen zu liefern, die ihnen für den bevorstehenden Besuch des Königs auferlegt seien. Ob der König Kerkeosiris besuchen wollte, ist zweifelhaft. Es wäre wohl möglich, daß für einen königlichen Besuch in der Metropole auch die Dörfer in dieser Weise zur Proviantlieferung (*ἀγορά*) herangezogen wären.

[1] *Μεγχεῖ κωμογραμματεῖ* [2] *Κερκεοσίρεως* [3] *παρὰ Ὥρου κωμάρχου καὶ τ[ῶν]* [4] *π̣ρεσβυτέρων τῶν γεω(ργῶν) τῆς αὐτῆς.* [5] *Κεχειρογραφηκότων ἡμῶν* [6] *Πολέμωνι τῶι τοπάρχηι* [7] *περὶ τοῦ παραδώσειν εἰς [τὸ]* [8] *βασιλικὸν ἕως ι τοῦ Παχὼν* [9] *πυροῦ (ἀρτάβας) Ἀφ, περὶ ὧν καὶ προσ*[10]*εδρευόντων διά τε νυκτὸς* [11] *καὶ ἡμέρας μέχρι τοῦ τὸ προκεί*[12]*μενον ἐκπληρῶσαι καὶ τὴν ἐπι*[13]*γεγραμμένην πρὸς τὴν τοῦ βασι*[14]*λέως παρουσίαν ἀγορὰν (πυροῦ) (ἀρταβῶν) π,* [15] *τῆι δὲ γ τοῦ ὑποκειμένου μηνὸς* [16] *ὄντων πρὸς τῆι παραδόσει* [17] *τῶν ἐκφορίων καὶ τοῦ ἀλοητοῦ,* [18] *ἐπελθὼν ἐπὶ τὴν ἅλω Λύκος* [19] *σὺν ἄλλοις ἐν ὅπλοις καὶ σπασαμένων* [20] *τὰς μαχαίρας ἐπιλαβομένων τοῦ* [21] *ἑ̣ν̣ὸ̣ς ἡ̣μ̣ῶν Ὥρου κωμάρχου καὶ* [22] *τούτου ἀγωγὴ̣ν̣ μετὰ σκυλμοῦ* [23] *ποιουμένων ῥίψαντα τὸ ἱμάτιον* [24] *εἰς φυγὴν ὁρμῆσαι, καὶ ἡμᾶς τε* [25] *σὺν τοῖς λοιποῖς γεωργοῖς ὑπόπτως* [26] *σχόντας συνδεδραμηκέναι,* [27] *διὰ δὲ ταύτην τὴν αἰτίαν ἐμπο*[28]*δισθῆναι ἐν τοῖς κατὰ τὴν παρά*[29]*δοσιν τῶν ἐκφορίων καὶ τῶν ἄλλων* [30] *ἐπιγεγραμμένων, τῆι δὲ δ* [31] *συμψήσαντες τὸν Λύκον κ[αὶ]* [32] *[τοὺς σὺν αὐ]τῶι ἐπὶ τ̣[ὸν]* . [. . .] Hier bricht der Papyrus ab.

4 Zu den *πρεσβύτεροι τῶν γεωργῶν* vgl. oben S. 43 Anm. 2.

12 In *ἐπιγράφειν* liegt ein Hinweis auf den außerordentlichen Charakter dieser Auflage (Edd.).

14 Zu *ἀγορά* im Sinne von Proviant, Naturalverpflegung vgl. z. B. Amh. 29, 11 (Arch. II 118).

18 *Λύκος* vielleicht derselbe, gegen den Teb. 50 (**329**) gerichtet ist (Edd.). Im folgenden gehen die Konstruktionen in die Brüche.

410. Getreidezwangskäufe für einen Besuch des Finanzministers. — 227 v. Chr. — Faijûm. Vgl. S. 356.

P. Cairo 10250 edd. Grenfell-Hunt, Arch. II 80.

Für den bevorstehenden Besuch des *διοικητὴς* Chrysippos hat Dionysios, ein Untergebener des Herakleides, 1000 oder mehr Artaben Weizen zusammengekauft. Bei diesem *συναγοράζειν* ist hier, ebenso wie bei den Ankäufen für das Heer, an Zwangskäufe zu denken, für die der Staat den Preis (niedrig) bestimmte. Der Agron, der dem Dionysios den Empfang dieser Artaben quittiert, mag, wie die Editoren annehmen, im Dienst des Dioiketen gestanden haben. Jedenfalls war er wie dieser aus Alexandrien gekommen, denn von dort hat er das Maß mitgebracht, mit dem er hier im Faijûm die Lieferung ausmaß. Vgl. zu letzterem Hib. 98, 20.

[1] *Βασιλεύοντος Πτολεμαί̣[ο]υ [τοῦ Πτολεμαίου]* [2] *καὶ Ἀρσινόης θεῶν Ἀδελφῶν (ἔτους) κ Τῦβι* [3] *θ̄ ὁμολογεῖ Ἄγρων Λεοντίσκου Πέρσης* [4] *τῆς ἐπιγονῆς μεμετρῆσθαι παρὰ* [5] *Διονυσίου τοῦ παρ' Ἡρακλείδου ἐκ τ[ῶ]ν περὶ* [6] *πόλιν εἰς τὸν συνηγορασμένον δι' αὐτοῦ* [7] *ἄρτον ὥστε Χρυσίππωι τῶι ἀρχισωματο-*[8]*φύλακι καὶ διοικητῆι ἀπὸ τῶν γενη-*[9]*μάτων τοῦ ιθ (ἔτους) πυροῦ καθαροῦ* [10] *κεκοσκινευμένου ἀ̣χ̣ρ̣ί̣θ̣ου μέτρωι ὧι αὐτ[ὸς]* [11] *ἐκόμισα ἐξ Ἀλεξανδρείας [συμβεβλη]-*[12]*μένωι πρὸς τὸ χαλκοῦν μετρήσει* [13] *δικαίαι καὶ σκυτάλῃι ὡσαύτως* [14] *ἀρτάβας χιλί[ας καὶ]* [15] *τὸ σύμβολον [— — — —]*[16]*ανδρίδει τ̣ῶ[ι — — — —]* [17] *ἴδια. Ἔγραψεν Πτολεμαῖος Ζήνωνος* [18] *συντάξαντος Ἄγρωνος διὰ τὸ φάσκειν* [19] *[μὴ εἰδέναι γράμματα.]*

11 [*συμβεβλη*]*μένωι* erg. Collart-Lesquier (zu Lille 21, 24). ....[...] Edd. Zu diesen kupfernen Normalmaßen vgl. Teb. 5, 86.
15 [*δεδωκέναι*.... Edd.

411. Kontributionen für einen Besuch des Finanzministers. — 225 v. Chr. — Faijûm. Vgl. S. 356.

P. Grenf. II 14 (b) edd. Grenfell-Hunt.
Lit.: Foucart, Mélanges Boissier S. 201.

Zwei Jahre nach dem in der vorigen Nummer behandelten Besuch des Dioiketen Chrysippos finden wir ihn hier schon wieder im Faijûm. Diesmal berichtet uns der Text von den „Gastgeschenken" (*ξένια*), die der Schreiber vorschriftsmäßig (vgl. Z. 1) zusammengebracht hat. Daß diese *ξένια* Zwangskontributionen waren, versteht sich von selbst. Abgesehen von der Lieferung der verschiedensten Vogelarten für die Küche des Dioiketen, sind auch Reit- und Packesel für ihn requiriert worden (vgl. Kap. X). Eine gute Wirkung aber des hohen Besuches war, daß die Wege ausgebessert wurden (Z. 6).

[1] *Ἀ[μ]εννε[ὺς] Ἀσκληπιάδει χαίρειν. [Κα]θ̣ό̣τι σ[ὺ ἔ]γραψας, ἑτοιμά-*

1 *Ἀ[μ]εννεὺς* (ebenso Verso 8) Grenfell nach mündlicher Mitteilung (statt *Ἀ[π]εννεὺς*).

καμεν [2] *ἐπὶ τὴν παρουσίαν τὴν Χρυσίππου* [*τοῦ ἀρχισωματο*]*φύλακος καὶ διοικητοῦ* [3] *λευκομετώπους δέκα, χῆνας ἡμέρους π*[*έν*]*τε, ὄρνιθας πεντήκοντα,* [4] [.] . *ια χῆνες πεντήκοντα, ὄρνιθες διακόσια*[*ι*], *περ*[*ι*]*στριδεῖς ἑκατόν. Συνκεχρή*[5]*με*[*θ*]*α δὲ ὄνους βαδιστὰς πέντε καὶ τούτων τὰς* . [. . . .]*ς, ἑτοιμάκαμεν δὲ* [6] *καὶ τοὺς τεσσαράκοντα ὄνους* [*τοὺς σ*]*κ*[*ε*]*υοφόρους, γινόμ*[*εθα*] *δὲ πρὸς τῆι ὁδοποίαι.* [7]*Ἔρρω*[*σο.* (*Ἔτους*)] *κβ Χοίαχ δ.*

Verso: [8] (*Ἔτους*) *κβ Χοίαχ ξ̄ Ἀμεννεὺς Ἀσκληπιάδει* [9] *ξενίων τῶν ἡτοιμασμένων.*

2 Zum Titel vgl. S. 7.
4 Statt [*ὄ*]*ρ*ͅ*ια* (Edd.) habe ich im Arch. IV 541 Anm. 2 vermutungsweise *ἄγρια* vorgeschlagen nach Lond. III S. 114, 73 (415). Danach würden erst die zahmen Tiere (*ἡμέρους*) aufgezählt sein, dann die wilden. Ist am Original (in Wien) zu prüfen. — In dem Paralleltext Petr. III S. 152, 4 steht korrekt *περιστεριδεῖς*.
5 [*ἐπισκευὰ*]*ς* vermutet Foucart l. c.
6 Zu der *ὁδοποία* verweisen die Editoren auf die ähnlichen Vorbereitungen *πρὸς τὴν τοῦ βασιλέως ἄφιξιν* in Petr. II 13 (18 a).

412. Vorbereitungen zum Besuch des Hadrian in Theben. — 130 n. Chr. — Theben. Vgl. S. 358.

Ostrakon Straßburg (unveröffentlicht) ed. Wilcken.

Daß der Text von dem Besuch Hadrians in Theben handelt, ergab sich mir zunächst aus dem Worte *παροχῆς*, daß nach **415** der terminus technicus für die Lieferungen für die reisenden Beamten ist. Zu dieser Deutung stimmte dann das Datum der Quittung, der 12. Sept. 130. Vgl. W. Weber, Untersuchungen zur Geschichte des Kaisers Hadrianus (1907) S. 115 und 247 ff. Hadrian ist nach ihm im Laufe des Oktober 130 von Alexandrien aufgebrochen — wie ich glaube, weil damals das Wachsen des Nils aufgehört hatte, während dessen die Könige den Nil nicht befahren durften (vgl. S. 32 Anm. 4) —, hat sich Ende Oktober an der Stelle des späteren Antinoopolis aufgehalten (S. 248) und ist Ende November beim Memnonskoloß (nach dem Gedicht der Balbilla am 24/25. Hathyr = 28/29. November). Nach unserm Text waren die Vorbereitungen zum Empfang des Kaisers in Theben schon im September in vollem Gange. Liturgische *ἐπιτηρηταί* waren bereits eingesetzt (wie in **415**), um für die Verpflegung des Kaisers und seiner Begleitung zu sorgen. Solche Liturgen für die Beschaffung der Gerste haben die folgende Quittung ausgestellt. Diese Tatsache, daß hiernach schon Anfang September der Befehl zum Empfang des Kaisers nach Theben gelangt war, ist nicht ohne Interesse für die Chronologie des Kaisers. Sie entscheidet über die Deutung der Münze mit der Darstellung des alexandrinischen Einzuges vom J. 14 zugunsten von P. v. Rhoden (Pauly-Wissowa I 511) und Weber S. 247, die anders als Dürr daraus schlossen, daß Hadrian noch vor dem 29. August (dem Neujahrstage), etwa Anfang August nach Alexandrien gekommen sei. O. Th. Schulz, Leben des Kaisers Hadrian S. 78, läßt ihn dagegen, ohne diese Münze zu erwähnen, erst in dem neuen Jahre, „wohl in der zweiten Hälfte des September" dort eintreffen. — Meine Transkription ist am Original zu prüfen, da ich sie vor mehreren Jahren ohne die

Absicht der Publikation gemacht habe. Für die thebanische Herkunft des Ostrakons spricht u. a. der Name *Πικῶς*, auch *Ψενθώτης*.

[1] *Ἀπολλόδ(ωρος) καὶ μ(έτοχοι) ἐπιτη(ρηταὶ) κρ(ιθῆς)* [2] *τῆς παροχ(ῆς) τοῦ κυρίου* [3] *Αὐτοκράτορος Ἁδριανοῦ* [4] *Καίσαρος ὀνό(ματι) Ψενθώτη(ς)* [5] *Πικῶ(τος) Ψεν . . η(. .) κρ(ιθῆς) κδ.* [6] *(Ἔτους) ιε Ἁδριανοῦ Καίσαρος* [7] *τοῦ κυρίου Θὼθ ιε. Φενῆ(σις?) σεση(μείωμαι).* Darauf 1 Zeile Demotisch.

4 l. *Ψενθώτου*. 5 Hinter *Ψεν* korrig. 7 Vielleicht verlesen für *Ψενῆσις*?

413. Germanicus' Besuch in Theben. — 19 n. Chr. — Theben. Vgl. S. 358.

Ostrakon Louvre 9004 (unveröffentlicht) ed. Wilcken.

Ich gebe die folgende Transkription mit allem Vorbehalt, da ich sie im Augenblick der Abreise (1904) in großer Hast habe machen müssen. Wenn auch mehreres noch ungelesen ist, geht doch aus dem schon Gelesenen so viel hervor, daß hier eine Quittung über eine Kontribution (*ὑπὲρ τιμῆς πυροῦ*) vorliegt, die aus Anlaß des Besuches des Germanicus auferlegt war. Nach Tacitus, annal. II 59, hat Germanicus diese Reise im Anfang des Jahres 19 angetreten. Die Jahreszahl in Z. 4 zeigt Korrektur. Wenn ich nicht irre, ist ein ε oben auf ein kleines δ geschrieben. Der 30. Tybi des 5. Jahres ist der 26. Januar des Schaltjahres 19. Wenn schon damals Vorbereitungen für die Verpflegung des Prinzen in Theben getroffen wurden, so wird Germanicus schon Anfang Januar nach Alexandrien gekommen sein, und die Befehle nach Oberägypten müssen sehr bald abgegangen sein. Historisch ist nicht ohne Interesse, daß aus unserm Ostrakon hiernach gefolgert werden kann, daß schon von vornherein beim Germanicus die Absicht, eine oberägyptische Reise zu machen, vorhanden gewesen ist. So bestätigt es die Auffassung des Tacitus, die dieser wohl absichtlich sogleich mit den ersten Worten folgendermaßen betont (59): M. Silano L. Norbano consulibus Germanicus Aegyptum proficiscitur cognoscendae antiquitatis. Auf der andern Seite zeigt das Ostrakon, daß, wenn Germanicus auch in Alexandrien im griechischen Tropenkostüm auftrat (pedibus intectis et pari cum Graecis amictu), er doch als Inhaber des außerordentlichen imperium (Tac. ann. II 43) gereist ist, der überall auf öffentliche Kosten verpflegt wurde, und dessen *παρουσία* vom ganzen Lande gefeiert und bezahlt wurde. — Über die Art der Kontribution vgl. zur nächsten Nummer.

[1] *Διαγεγρά(φηκεν) ἐπὶ τὴν ἐν Διὸς πόλ(ει) τῆι μεγάλ(ηι) ⟨τράπεξαν⟩ Φατρῆς* [2] *Ψενθώτου ὑπὲ̣ρ̣ τι̣μῆς (πυροῦ) τοῦ ἐκ θη(σαυροῦ?) σ̣ . . ε* [3] *. . . . . μ . ∟ . . . . . ο̣υ̣ ∟ εἰς παρουσίαν Γερμανικοῦ* [4] *Καίσαρος ῥυπ(αρὰς) (δραχμὰς) . . . . . . / (δραχ.) . . (Ἔτους) ε Τιβερίου* [5] *Καίσαρος Σεβαστοῦ Τῦβι λ. ∴ Μηνόδ(ωρος).*

2 Zweifelhaft, ob nicht *θησ̣(αυροῦ)* statt *θησ*.

414. Ein Besuch des Flaccus in Theben. — 33 n. Chr. — Theben. Vgl. S. 359.

Ostrakon Brit. Mus. 16467 ed. Wilcken, Griech. Ostraka II n. 1372. Vgl. Zusätze S. 441.
Lit.: Wilcken, Griech. Ostraka I 276, Arch. I 171.

